# Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: ari-aa

*Σόλων ὁ Ἀθηναῖος* · Solon of Athens

## Solon's Salamis Elegy

*Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 αὐτὸς κῆρυξ ἦλθον ἀφ’ ἱμερτῆς
book 1.2 Σαλαμῖνος, [para]κόσμον ἐπέων ὠιδὴν ἀντ’ ἀγορῆς θέμενος.
book 2.1 εἴην δὴ τότ’ ἐγὼ Φολεγάνδριος ἢ Σικινήτης [para]ἀντί γ’ Ἀθηναίου
book 2.2 πατρίδ’ ἀμειψάμενος· αἶψα γὰρ ἂν φάτις ἥδε μετ’ ἀνθρώποισι γένοιτο· “Ἀττικὸς οὗτος ἀνήρ, τῶν
book 2.3 Σαλαμιναφετέων”.
book 3.1 ἴομεν ἐς
book 3.2 Σαλαμῖνα μαχησόμενοι
book 3.3 περὶ νήσου [para]ἱμερτῆς
book 3.4 χαλεπόν τ’ αἶσχος ἀπωσόμενοι.
book 4.1 ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ’ ὀλεῖται [para]αἶσαν καὶ μακάρων θεῶν
book 4.2 φρένας ἀθανάτων· τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη [para]Παλλὰς Ἀθηναίη
book 4.3 χεῖρας ὕπερθεν ἔχει·[ln_5]αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίηισιν [para]ἀστοὶ βούλονται
book 4.4 χρήμασι
book 4.5 πειθόμενοι, δήμου θ’ ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον [para]ὕβριος ἐκ μεγάλης ἄλγεα
book 4.6 πολλὰ παθεῖν· οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας[ln_10]εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίηι[ln_10]......... [para]πλουτέουσιν δ’ ἀδίκοις ἔργμασι
book 4.7 πειθόμενοι[ln_11]......... [para]οὔθ’ ἱερῶν κτεάνων οὔτε
book 4.8 τι δημοσίων
book 4.9 φειδόμενοι κλέπτουσιν ἀφαρπαγῆι ἄλλοθεν ἄλλος, [para]οὐδὲ φυλάσσονται
book 4.10 σεμνὰ Δίκης θέμεθλα,
book 4.1 [ln_15]ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα
book 4.2 πρό τ’ ἐόντα, τῶι δὲ χρόνωι πάντως ἦλθ’ ἀποτεισομένη, τοῦτ’ ἤδη πάσηι πόλει ἔρχεται ἕλκος ἄφυκτον, [para]ἐς δὲ κακὴν
book 4.3 ταχέως ἤλυθε δουλοσύνην, ἣ στάσιν ἔμφυλον πόλεμόν θ’ εὕδοντ’ ἐπεγείρει,[ln_20]ὃς
book 4.4

πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην· ἐκ γὰρ δυσμενέων

book 4.5 ταχέως

book 4.6 πολυήρατον ἄστυ [para]τρύχεται ἐν

book 4.7 συνόδοις

book 4.8 τοῖς ἀδικέ͜ουσ͜ι φίλους. ταῦτα μὲν ἐν δήμωι

book 4.9 στρέφεται κακά· τῶν δὲ πενιχρῶν [para]ἱκνέ͜ον͜ται

book 4.10 πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν[ln_25]πραθέντες δεσμοῖσί τ’ ἀεικελίοισι δεθέντες[ln_25]........ οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ’ ἑκάστωι, [para]αὔλειοι δ’ ἔτ’ ἔχειν οὐκ ἐθέλουσι θύραι, ὑψηλὸν δ’ ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως, [para]εἰ καί τις

book 4.11 φεύγων ἐν μυχῶι ἦι θαλάμου.

book 4.1 [ln_30]ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει, [para]ὡς κακὰ πλεῖστα πόλει Δυσνομίη

book 4.2 παρέχει· Εὐνομίη δ’ εὔκοσμα καὶ ἄρτια πάντ’ ἀποφαίνει, [para]καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας· τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,[ln_35]αὑαίνει δ’ ἄτης ἄνθεα

book 4.3 φυόμενα, εὐθύνει δὲ δίκας

book 4.4 σκολιάς, ὑπερήφανά τ’ ἔργα [para]πραΰνει· παύει δ’ ἔργα διχοστασίης, παύει δ’ ἀργαλέης ἔριδος χόλον, ἔστι δ’ ὑπ’ αὐτῆς πάντα κατ’ ἀνθρώπους ἄρτια καὶ πινυτά.

book 4a.1 γινώσκω, καί μοι

book 4a.2 φρενὸς ἔνδοθεν ἄλγεα κεῖται, [para]πρεσβυτάτην ἐσορῶν γαῖαν [Ἰ]αονίης κλινομένην,

book 4c.1 ὑμεῖς δ’ ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ, [para]οἳ πολλῶν ἀγαθῶν ἐς κόρον [ἠ]λάσατε, ἐν μετρίοισι τίθεσθε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς

book 4c.2 πεισόμεθ’, οὔθ’ ὑμῖν ἄρτια

book 4c.3 τα[ῦ]τ’ ἔσεται.

book 5 δήμωι μὲν γὰρ ἔδωκα τόσον γέρας ὅσσον ἐπαρκεῖν, [para]τιμῆς οὔτ’ ἀφελὼν οὔτ’ ἐπορεξάμενος· οἳ δ’ εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί, [para]καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν·[ln_5]ἔστην δ’ ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι, [para]νικᾶν δ’ οὐκ εἴας’ οὐδετέρους ἀδίκως.

book 6.1 δῆμος δ’ ὧδ’ ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο, μήτε λίην ἀνεθεὶς μήτε βιαζόμενος· τίκτει γὰρ κόρος ὕβριν, ὅταν

book 6.2 πολὺς ὄλβος ἕπηται [para]ἀνθρώποις ὁπόσοις μὴ νόος ἄρτιος ἦι.

book 7.1 ἔργμασι (γὰρ) ἐν μεγάλοις πᾶσιν ἁδεῖν

book 7.2 χαλεπόν,

book 9.1 ἐκ νεφέλης πέλεται

book 9.2 χιόνος μένος ἠδὲ χαλάζης, [para]βροντὴ δ’ ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς· ἀνδρῶν δ’ ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ μονάρχου δῆμος ἀϊδρίηι δουλοσύνην ἔπεσεν.[ln_5]λίην δ’ ἐξάραντ’ 〈οὐ〉 ῥάιδιόν ἐστι κατασχεῖν [para]ὕστερον, ἀλλ’ ἤδη

book 9.3 χρὴ 〈καλὰ〉 πάντα νοεῖν.

book 10.1 δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς

book 10.2 χρόνος ἀστοῖς, [para]δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

book 11.1 εἰ δὲ πεπόνθατε λυγρὰ δι’ ὑμετέρην κακότητα, [para]μὴ θε͜οῖ͜σιν

book 11.2 τούτων μοῖραν ἐπαμφέρετε· αὐτοὶ γὰρ

book 11.3 τούτους ηὐξήσατε ῥύματα δόντες, [para]καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.[ln_5]ὑμέων δ’ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει, [para]σύμπασιν δ’ ὑμῖν

book 11.4 χαῦνος ἔνεστι νόος· ἐς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός, εἰς ἔργον δ’ οὐδὲν γιγνόμενον βλέπετε.

book 12.1 ἐξ ἀνέμων δὲ θάλασσα

book 12.2 ταράσσεται· ἢν δέ τις αὐτὴν [para]μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

book 13.1 Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα, [para]Μοῦσαι

book 13.2 Πιερίδες, κλῦτέ μοι εὐχομένωι· ὄλβον μοι

book 13.3 πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων [para]ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·[ln_5]εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν, [para]τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν. χρήματα δ’ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι [para]οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη. πλοῦτον δ’ ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ[ln_10]ἔμπεδος ἐκ νεάτου

book 13.4 πυθμένος ἐς κορυφήν· ὃν δ’ ἄνδρες

book 13.5 τιμῶσιν ὑφ’ ὕβριος, οὐ κατὰ κόσμον [para]ἔρχεται, ἀλλ’ ἀδίκοις ἔργμασι

book 13.6 πειθόμενος οὐκ ἐθέλων ἕπεται, ταχέως δ’ ἀναμίσγεται ἄτηι· [para]ἀρχῆς δ’ ἐξ ὀλίγης γίγνεται ὥστε

book 13.7 πυρός,

book 13.1 [ln_15]φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾶι· [para]οὐ γὰρ δὴ〈ν〉 θνητοῖς ὕβριος ἔργα πέλει, ἀλλὰ Ζεὺς πάντων ἐφορᾶι τέλος, ἐξαπίνης δὲ [para]ὥστ’ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν ἠρινός, ὃς πόντου

book 13.2 πολυκύμονος ἀτρυγέτοιο[ln_20]πυθμένα κινήσας, γῆν κάτα

book 13.3 πυροφόρον δηιώσας καλὰ ἔργα θεῶν ἕδος αἰπὺν ἱκάνει οὐρανόν, αἰθρίην δ’ αὖτις ἔθηκεν ἰδεῖν, λάμπει δ’ ἠελίοιο μένος κατὰ πίονα γαῖαν [para]καλόν, ἀτὰρ νεφέων οὐδ’ ἓν ἔτ’ ἐστὶν ἰδεῖν.

book 13.1 [ln_25]τοιαύτη Ζηνὸς πέλεται τίσις· οὐδ’ ἐφ’ ἑκάστωι [para]ὥσπερ θνητὸς ἀνὴρ γίγνεται ὀξύχολος, αἰεὶ δ’ οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρὸν [para]θυμὸν ἔχει, πάντως δ’ ἐς τέλος ἐξεφάνη· ἀλλ’ ὁ μὲν αὐτίκ’ ἔτεισεν, ὁ δ’ ὕστερον· οἳ δὲ φύγωσιν[ln_30]αὐτοί, μηδὲ θεῶν μοῖρ’ ἐπιοῦσα κίχηι, ἤλυθε πάντως αὖτις· ἀναίτιοι ἔργα τίνουσιν [para]ἢ παῖδες

book 13.2 τούτων ἢ γένος ἐξοπίσω. θνητοὶ δ’ ὧδε νοέομεν ὁμῶς ἀγαθός

book 13.3 τε κακός

book 13.4 τε, [para]εὖ ῥεῖν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,

book 13.1 [ln_35]πρίν

book 13.2 τι παθεῖν· τότε δ’ αὖτις ὀδύρεται· ἄχρι δὲ τούτου [para]χάσκοντες κούφαις ἐλπίσι

book 13.3 τερπόμεθα. χὤστις μὲν νούσοισιν ὑπ’ ἀργαλέηισι

book 13.4 πιεσθῇι, [para]ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο· ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,[ln_40]καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων· εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται, [para]κτήσασθαι πάντως

book 13.5 χρήματα

book 13.6 πολλὰ δοκεῖ. σπεύδει δ’ ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται [para]ἐν νηυσὶν

book 13.7 χρήιζων οἴκαδε κέρδος ἄγειν[ln_45]ἰχθυόεντ’ ἀνέμοισι

book 13.8 φορεόμενος ἀργαλέοισιν, [para]φειδωλὴν

book 13.9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχῆς οὐδεμίαν θέμενος·

book 13.1 ἄλλος γῆν τέμνων

book 13.2 πολυδένδρεον εἰς ἐνιαυτὸν [para]λατρεύει, τοῖσιν καμπύλ’ ἄροτρα μέλει· ἄλλος Ἀθηναίης

book 13.3 τε καὶ Ἡφαίστου

book 13.4 πολυτέχνεω ἔργα δαεὶς

book 13.5 χειροῖν ξυλλέγεται βίοτον, ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς, [para]ἱμερτῆς

book 13.6 σοφίης μέτρον ἐπιστάμενος· ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων, [para]ἔγνω δ’ ἀνδρὶ κακὸν

book 13.7 τηλόθεν ἐρχόμενον,[ln_55]ὧι

book 13.8 συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως [para]οὔτε

book 13.9 τις οἰωνὸς ῥύσεται οὔθ’ ἱερά· ἄλλοι

book 13.10 Παιῶνος

book 13.11 πολυφαρμάκου ἔργον ἔχοντες [para]ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος· πολλάκι δ’ ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,

book 13.1 [ln_60]κοὐκ ἄν

book 13.2 τις λύσαιτ’ ἤπια φάρμακα δούς· τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις

book 13.3 τε [para]ἁψάμενος

book 13.4 χειροῖν αἶψα τίθης’ ὑγιῆ. Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν, [para]δῶρα δ’ ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.[ln_65]πᾶσι δέ τοι κίνδυνος ἐπ’ ἔργμασιν, οὐδέ τις οἶδεν [para]πῆι μέλλει

book 13.5 σχήσειν

book 13.6 χρήματος ἀρχομένου· ἀλλ’ ὁ μὲν εὖ ἔρδειν

book 13.7 πειρώμενος οὐ προνοήσας [para]ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν, τῶι δὲ κακῶς ἔρδοντι θεὸς

book 13.8 περὶ πάντα δίδωσιν[ln_70]συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης. πλούτου δ’ οὐδὲν τέρμα

book 13.9 πεφασμένον ἀνδράσι κεῖται· [para]οἳ γὰρ νῦν ἡμέων

book 13.10 πλεῖστον ἔχουσι βίον,

book 13.1 διπλάσιον

book 13.2 σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας; [para]κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι,[ln_75]ἄτη δ’ ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς πέμψηι

book 13.3 τεισομένην, ἄλλοτε ἄλλος ἔχει.

book 14 οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ [para]πάντες ὅσους θνητοὺς ἠέλιος καθορᾶι.

book 15.1 πολλοὶ γὰρ

book 15.2 πλουτέουσι κακοί, ἀγαθοὶ δὲ πένονται· [para]ἀλλ’ ἡμεῖς

book 15.3 τούτοις οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν

book 15.4 πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί, χρήματα δ’ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

book 16.1 γνωμοσύνης δ’ ἀφανὲς

book 16.2 χαλεπώτατόν ἐστι νοῆσαι [para]μέτρον, ὃ δὴ πάντων

book 16.3 πείρατα μοῦνον ἔχει.

book 17

πάντηι δ’ ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν

book 18 γηράσκω δ’ αἰεὶ πολλὰ διδασκόμενος,

book 19.1 νῦν δὲ (φησί) σὺ μὲν

book 19.2 Σολίοισι

book 19.3 πολὺν

book 19.4 χρόνον ἐνθάδ’ ἀνάσσων [para]τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον· αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῆι κλεινῆς ἀπὸ νήσου [para]ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·[ln_5]οἰκισμῶι δ’ ἐπὶ τῶιδε χάριν καὶ κῦδος ὀπάζοι [para]ἐσθλὸν καὶ νόστον

book 19.5 πατρίδ’ ἐς ἡμετέρην.

book 20.1 〈“ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.”〉 [ln_1]ἀλλ’ εἴ μοι καὶ νῦν ἔτι

book 20.2 πείσεαι, ἔξελε

book 20.3 τοῦτο— [para]μηδὲ μέγαιρ’, ὅτι ςέο λῶιον ἐπεφρασάμην— καὶ μεταποίησον Λιγιαστάδη, ὧδε δ’ ἄειδε· “ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου”.

book 21 μηδέ μοι ἄκλαυτος θάνατος μόλοι, ἀλλὰ φίλοισι [para]καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς,

book 22a.1 εἰπεῖν μοι Κριτίηι ξανθότριχι

book 22a.2 πατρὸς ἀκούειν· οὐ γὰρ ἁμαρτινόωι

book 22a.3 πείσεται ἡγεμόνι.

book 23.1 ὄλβιος, ὧι

book 23.2 παῖδές

book 23.3 τε φίλοι καὶ μώνυχες ἵπποι [para]καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός;

book 24.1 ἶσόν

book 24.2 τοι

book 24.3 πλουτέουσιν, ὅτωι

book 24.4 πολὺς ἄργυρός ἐστι [para]καὶ χρυσὸς καὶ γῆς

book 24.5 πυροφόρου

book 24.6 πεδία ἵπποι θ’ ἡμίονοί τε, καὶ ὧι μόνα

book 24.7 ταῦτα πάρεστι, [para]γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,[ln_5]παιδός τ’ ἠδὲ γυναικός, ἐπὴν καὶ ταῦτ’ ἀφίκηται, [para]ὥρη, σὺν δ’ ἥβη γίνεται ἁρμοδίη. ταῦτ’ ἄφενος θνητοῖσι· τὰ γὰρ

book 24.8 περιώσια πάντα [para]χρήματ’ ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω, οὐδ’ ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας[ln_10]νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

book 25.1 ἔσθ’ ἥβης ἐρατοῖσιν ἐπ’ ἄνθεσι

book 25.2 παιδοφιλήσηι, [para]μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

book 26 ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου καὶ Μουςέων, ἃ τίθης’ ἀνδράσιν εὐφροσύνας,

book 27.1 παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων [para]φύσας ἐκβάλλει

book 27.2 πρῶτον ἐν ἕπτ’ ἔτεσιν. τοὺς δ’ ἑτέρους ὅτε δὴ τελέσηι θεὸς ἕπτ’ ἐνιαυτούς, [para]ἥβης δὲ φάνει σήματα γεινομένης.[ln_5]τῆι

book 27.3 τριτάτηι δὲ γένειον ἀεξομένων ἔτι γυίων [para]λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης. τῆι δὲ τετάρτηι πᾶς

book 27.4 τις ἐν ἑβδομάδι μέγ’ ἄριστος [para]ἰσχύν, ἧι τ’ ἄνδρες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 27.5 πείρατ’ ἔχους’ ἀρετῆς. πέμπτηι δ’ ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι[ln_10]καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν. τῆι δ’ ἕκτηι

book 27.6 περὶ πάντα καταρτύεται νόος ἀνδρός, [para]οὐδ’ ἔρδειν ἔθ’ ὁμῶς ἔργ’ ἀπάλαμνα θέλει. ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ’ ἄριστος [para]ὀκτώ τ’· ἀμφοτέρων τέσσαρα καὶ δέκ’ ἔτη.

book 27.1 [ln_15]τῆι δ’ ἐνάτηι ἔτι μὲν δύναται, μαλακώτερα δ’ αὐτοῦ [para]πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη. τὴν δεκάτην δ’ εἴ τις

book 27.2 τελέσας κατὰ μέτρον ἵκοιτο, οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

book 28 Νείλου ἐπὶ προχοῇισι, Κανωβίδος ἐγγύθεν ἀκτῆς.

book 31.1 πρῶτα μὲν εὐχώμεσθα Διὶ Κρονίδηι βασιλῆϊ θεσμοῖς

book 31.2 τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

book 32.1 εἰ δὲ γῆς (φησιν) ἐφεισάμην

book 32.2 πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος, οὐδὲν αἰδέ͜ομαι· πλέον γὰρ ὧδε νικήσειν δοκέ͜ω[ln_5]πάντας ἀνθρώπους.

book 33 “οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ· ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο· περιβαλὼν δ’ ἄγρην ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα δίκτυον, θυμοῦ θ’ ἁμαρτῆι καὶ φρενῶν ἀποσφαλείς·[ln_5]ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν καὶ τυραννεύσας Ἀθηνέ͜ων μοῦνον ἡμέρην μίαν, ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρίφθαι γένος.”

book 34.1 οἱ δ’ ἐφ’ ἁρπαγῇσιν ἦλθον· ἐλπίδ’ εἶχον ἀφνεήν, κἀδόκ[ε]ο͜ν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν

book 34.2 πολύν, καί με κωτίλλοντα λείως

book 34.3 τραχὺν ἐκφανεῖν νόον. χαῦνα μὲν τότ’ ἐφράσαντο, νῦν δέ μοι

book 34.4 χολούμενοι[ln_5]λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήϊον. οὐ χρεών· ἃ μὲν γὰρ εἶπα, σὺν θεοῖσιν ἤνυσα, ἄλλα δ’ οὐ μάτην ἔερδον, οὐδέ μοι

book 34.5 τυραννίδος ἁνδάνει βίηι

book 34.6 τι[..].ε[ι]ν, οὐδὲ πιεί[ρ]ης

book 34.7 χθονὸς

book 34.8 πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίην ἔχειν.

book 36.1 ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξυνήγαγον δῆμον, τί τούτων

book 36.2 πρὶν

book 36.3 τυχεῖν ἐπαυσάμην; συμμαρτυροίη

book 36.4 ταῦτ’ ἂν ἐν δίκηι

book 36.5 Χρόνου μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων[ln_5]ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε ὅρους ἀνεῖλον

book 36.6 πολλαχῆι

book 36.7 πεπηγότας, πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρη. πολλοὺς δ’ Ἀθήνας

book 36.8 πατρίδ’ ἐς θεόκτιτον ἀνήγαγον

book 36.9 πραθέντας, ἄλλον ἐκδίκως,[ln_10]ἄλλον δικαίως, τοὺς δ’ ἀναγκαίης ὑπὸ χρειοῦς

book 36.10 φυγόντας, γλῶσσαν οὐκέτ’ Ἀττικὴν ἱέντας, ὡς δὴ πολλαχῆι

book 36.11 πλανωμένους· τοὺς δ’ ἐνθάδ’ αὐτοῦ δουλίην ἀεικέα ἔχοντας, ἤθη δεσποτέ͜ων

book 36.12 τρομε͜ομένους,

book 36.1 [ln_15]ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει ὁμοῦ βίην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 36.2 τε καὶ δίκην ξυναρμόσας ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην· θεσμοὺς δ’ ὁμοίως τῶι κακῶι

book 36.3 τε κἀγαθῶι εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην ἔγραψα. κέντρον δ’ ἄλλος ὡς ἐγὼ λαβών, κακοφραδής

book 36.4 τε καὶ φιλοκτήμων ἀνήρ, οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤθελον ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε, αὖτις δ’ ἃ τοῖσιν οὕτεροι

book 36.5 φρασαίατο, πολλῶν ἂν ἀνδρῶν ἤδ’ ἐχηρώθη πόλις. τῶν οὕνεκ’ ἀλκὴν πάντοθεν

book 36.6 ποιεόμενος ὡς ἐν κυσὶν

book 36.7 πολλῇσιν ἐστράφην λύκος.

book 37.1 δήμωι μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι, ἃ νῦν ἔχουσιν οὔποτ’ ὀφθαλμοῖσιν ἂν εὕδοντες εἶδον … ὅσοι δὲ μείζους καὶ βίην ἀμείνονες, αἰνοῖεν ἄν με καὶ φίλον

book 37.2 ποιοίατο. οὐκ ἂν κατέσχε δῆμον, οὐδ’ ἐπαύσατο

book 37.3 πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα· ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίωι ὅρος κατέστην.

book 38.1 πίνουσι· καὶ τρώγουσιν οἱ μὲν ἴτρια οἱ δ’ ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους γούρους

book 38.2 φακοῖσι· κεῖθι δ’ οὔτε

book 38.3 πεμμάτων ἄπεστιν οὐδ’ ἕν, ἅσς’ ἐν ἀνθρώποισι γῆ φέρει μέλαινα, πάντα δ’ ἀφθόνως πάρα.

book 39 σπεύδουσι δ’ οἱ μὲν ἴγδιν, οἱ δὲ σίλφιον, οἱ δ’ ὄξος,

book 40 κόκκωνας δὲ ἄλλος, ἕτερος δὲ σήσαμα.

book 43 λιπαρὴ κουροτρόφος·

Eulogikon public reading copy · View original HTML at eulogikon.org